ex eo quia non facile ſit, generali ſermone ſingulos caſus comprehendere. Quas tamen leges rectè poſitas dicamus, nondum apparet. ſed adhuc ſupereſt anterior dubitatio. atque tales eſſe leges, quales ſunt reſpublicæ, neceſſarium eſt, prauas vel ſtudioſas, iuſtas vel iniuſtas, & hoc vnum manifeſtum eſt oportere ad ſpeciem reipublicæ leges eſſe accõmodatas. Quòd ſi ita ſit, patet quòd leges illas, quæ ad rectas gubernationes accommodatæ ſunt, neceſſe eſt eſſe iuſtas: illas verò quæ ad earum labes, eſſe non iuſtas.

CAPVT XII.

CVm verò in cunctis ſcientiis & artibus finis ſit bonum, maximum autem & maximè in principaliſſima omnium: hæc autem eſt ciuilis poteſtas, eſt autem ciuile bonum, iuſtum, id autem communis vtilitas: videtur autem omnibus æquum, quoddam eſſe iuſtum, & vſque ad aliquid conſentiunt philoſophicis rationibus, in quib. determinatum eſt de moralibus: quid enim & quibus iuſtum, & oportere paribus par exiſtere: quorum certè paritas, & quorum imparitas ſit, oportet non latere (habet enim ad id dubitationẽ) & philoſophiam ciuilem. Forſan enim diceret aliquis, ſecundum omnis boni præeminentiam oportere impariter magiſtratus tribuere, ſi in aliis non differant, ſed pares ſint. differentibus enim aliud eſſe iuſtum, & quod ſit ſecundum dignitatem. Atqui ſi hoc verum ſit, erit & ſecundum colorem & ſecundum magnitudinem, & ſecundum vnumquodque bonorum plus tribuendum de ciuili iuſto illis qui ſuperexcellunt. an hoc quidẽ apertè falſum eſt: quod patet in aliis ſcientiis, & artibus. Paribus enim fiſtulatoribus quantum ad artem, danda nõ eſt prærogatiua fiſtularum illi qui ſit nobilior (nihil enim melius canere) ſed oportet his qui in opere ipſo ſuperexcellunt, tribuere fiſtularum prærogatiuam. Quòd ſi nondum patet quod dicimus, etiam magis deducentibus erit manifeſtum. nam ſi erit aliquis excellens fiſtulatoria arte, inferior tamen nobilitate generis, vel forma, & ſi malus quodlibet illorum eſt bonum quàm fiſtulatoria (dico autem nobilitatem & formam) & ſecundum proportionem fiſtulatoriȩ ſunt anteponenda: tamen huic dandæ ſunt meliores fiſtulæ. oportet enim in opus ipſum prærogatiuam conferre. diuitiarum verò & nobilitatis reſpectus nihil confert.

A διὰ τὸ μὴ ῥᾴδιον εἶναι καθόλου δηλῶσαι περὶ πάντων. ὁποίους μέντοι τινὰς εἶναι δεῖ τοὺς ὀρθῶς κειμένοις νόμοις, οὐδέ πω δῆλον, ἀλλ' ἔτι μένει τὸ πάλαι διαπορηθέν. ἀλλὰ γὰρ καὶ ὁμοίως ταῖς πολιτείαις ἀνάγκη καὶ τοὺς νόμοις φαύλοις ἢ σπουδαίοις εἶναι, καὶ δικαίοις ἢ ἀδίκοις. πλὴν τοῦτό γε φανερόν, ὅτι δεῖ πρὸς τὴν πολιτείαν κεῖσθαι τοὺς νόμους. ἀλλὰ μὴν εἰ τοῦτο, δῆλον ὅτι τοὺς μὲν κατὰ τὰς ὀρθὰς πολι- B τείας, ἀναγκαῖον εἶναι δικαίοις· τοῖς δὲ κατὰ τὰς παρεκβεβηκυίας, οὐ δικαίοις.

Κεφάλαιον ιβ.

Ἐπεὶ δ' ἐν πάσαις μὲν ταῖς ἐπιστήμαις καὶ τέχναις ἀγαθὸν τὸ τέλος, μέγιστον δὲ καὶ μάλιστα ἐν τῇ κυριωτάτῃ πασῶν· αὕτη δ' ἐστὶν ἡ πολιτικὴ δύναμις· ἔστι δὲ πολιτικὸν ἀγαθὸν τὸ δίκαιον· τοῦτο δ' ἐστὶ τὸ κοινῇ συμ- C φέρον· δοκεῖ δὲ πᾶσιν ἴσον τι τὸ δίκαιον εἶναι, καὶ μέχρι γέ τινος ὁμολογοῦσι τοῖς κατὰ φιλοσοφίαν λόγοις, ἐν οἷς διώρισται περὶ τῶν ἠθικῶν· τὶ γὰρ καὶ τισὶ τὸ δίκαιον, καὶ δεῖν τοῖς ἴσοις ἴσον εἶναί φασι· ποίων δ' ἰσότης ἐστί, καὶ ποίων ἀνισότης, δεῖ μὴ λανθάνειν· ἔχει γὰρ τοῦτ' ἀπορίαν καὶ φιλοσοφίαν πολιτικήν. ἴσως γὰρ ἂν φαίη τις κατὰ παντὸς ὑπεροχὴν ἀγαθοῦ δεῖν ἀνίσως νενεμῆσθαι D τὰς ἀρχὰς εἰ πάντα τὰ λοιπὰ μηδὲν διαφέροιεν, ἀλλ' ὅμοιοι τυγχάνοιεν ὄντες. τοῖς γὰρ διαφέρουσιν, ἕτερον εἶναι τὸ δίκαιον καὶ τὸ κατ' ἀξίαν. ἀλλὰ μὴν εἰ τοῦτ' ἀληθές, ἔσται κατὰ χρῶμα, καὶ κατὰ μέγεθος, καὶ καθ' ὁτιοῦν τῶν ἀγαθῶν, πλεονεξία τις τῶν πολιτικῶν δικαίων τοῖς ὑπερέχουσιν. ἢ τοῦτο ἐπιπόλαιον τὸ ψεῦδος; φανερὸν δ' ἐπὶ τῶν ἄλλων ἐπιστημῶν καὶ δυνά- E μεων. τῶν γὰρ ὁμοίων αὐλητῶν τὴν τέχνην, οὐ δοτέον πλεονεξίαν τῶν αὐλῶν τοῖς εὐγενεστέροις· οὐδὲν γὰρ αὐλήσουσι βέλτιον. δεῖ δὲ τῷ κατὰ τὸ ἔργον ὑπερέχοντι διδόναι καὶ τῶν ὀργάνων τὴν ὑπεροχήν. εἰ δὲ μήπω δῆλον τὸ λεγόμενον, ἔτι μᾶλλον αὐτὸ προαγαγοῦσιν ἔσται φανερόν. εἰ γὰρ εἴη τις ὑπερέχων μὲν κατὰ τὴν αὐλητικήν, πολὺ δ' ἐλλείπων κατ' εὐγένειαν ἢ κάλλος, εἰ καὶ F μεῖζον ἕκαστον ἐκείνων ἀγαθόν ἐστι τῆς αὐλητικῆς· λέγω δὲ τήν τ' εὐγένειαν, καὶ τὸ κάλλος· καὶ κατὰ τὴν ἀναλογίαν ὑπερέχουσι πλέον τῆς αὐλητικῆς, ἢ ἐκεῖνος κατὰ τὴν αὐλητικήν· ὅμως τούτῳ δοτέον τοὺς διαφέροντας τῶν αὐλῶν. δεῖ γὰρ εἰς τὸ ἔργον συμβάλλεσθαι τὴν ὑπεροχήν, καὶ τοῦ πλούτου, καὶ τῆς εὐγενείας· συμβάλλονται δ' οὐδέν.

ἔτι κα-